Yale

Yale University Library Digital Collections

**Title** Atalanta in Calydon. A tragedy

**Rights** The use of this image may be subject to the copyright law of the United States (Title 17, United States Code) or to site license or other rights management terms and conditions. The person using the image is liable for any infringement.

**Generated** 2021-02-22 05:32:52 UTC

**Terms of Use** https://guides.library.yale.edu/about/policies/access

**View in DL** https://collections.library.yale.edu/catalog/2054237

[Title page]

# ATALANTA IN CALYDON.

## A TRAGEDY.

BY

ALGERNON CHARLES SWINBURNE.

Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ
Γῆ καὶ σκιά· τὸ μηδὲν εἰς ὀυδὲν ῥέπει.
Eur. Fr. Mel. 20. (537.)

LONDON:
EDWARD MOXON & CO., 44, DOVER STREET.

1865.

[Dedication page]

TO THE MEMORY

OF

WALTER SAVAGE LANDOR

I NOW DEDICATE, WITH EQUAL AFFECTION, REVERENCE, AND REGRET, A POEM INSCRIBED TO HIM WHILE YET ALIVE IN WORDS WHICH ARE NOW RETAINED BECAUSE THEY WERE LAID BEFORE HIM; AND TO WHICH, RATHER THAN CANCEL THEM, I HAVE ADDED SUCH OTHERS AS WERE EVOKED BY THE NEWS OF HIS DEATH: THAT THOUGH LOSING THE PLEASURE I MAY NOT LOSE THE HONOUR OF INSCRIBING IN FRONT OF MY WORK THE HIGHEST OF CONTEMPORARY NAMES.

[v]

ᾤχεο δὴ Βορέηθεν ἀπότροπος· ἀλλά σε Νύμφαι
   ἤγαγον ἀσπασίαν ἡδύπνοοι καθ' ἅλα,
πληροῦσαι μέλιτος θεόθεν στόμα, μή τι Ποσειδῶν
   βλάψῃ, ἐν ὠσὶν ἔχων σὴν μελίγηρυν ὄπα,
τοῖος ἀοιδὸς ἔφυς· ἡμεῖς δ' ἔτι κλαίομεν, οἵ σου
   δευόμεθ' οἰχομένου, καί σε ποθοῦμεν ἀεὶ.
εἶπε δὲ Πιερίδων τις ἀναστρεφθεῖσα πρὸς ἄλλην·
   ἦλθεν, ἰδού, πάντων φίλτατος ἦλθε βροτῶν,
στέμματα δρεψάμενος νεοθηλέα χερσὶ γεραιαῖς,
   καὶ πολιὸν δάφναις ἀμφεκάλυψε κάρα
ἡδύ τι Σικελικαῖς ἐπὶ πηκτίσιν, ἡδύ τι χόρδαις,
   ᾀσόμενος· πολλὴν γὰρ μετέβαλλε λύραν,
πολλάκι δ' ἐν βήσσαισι καθήμενον εὗρεν Ἀπόλλων,
   ἄνθεσι δ' ἔστεψεν, τερπνὰ δ' ἔδωκε λέγειν,
Πᾶνα τ' ἀείμνηστόν τε Πίτυν Κόρυθόν τε δύσεδρον,
   ἥν τ' ἐφίλησε θεὰν θνητὸς Ἁμαδρύαδα·
πόντου δ' ἐν μεγάροισιν ἐκοίμισε Κυμοδάμειαν,
   τήν τ' Ἀγαμεμνονίαν παῖδ' ἀπέδωκε πατρὶ,
πρὸς δ' ἱεροὺς Δελφοὺς θεόπληκτον ἔπεμψεν Ὀρέστην
   τειρόμενον στυγεραῖς ἔνθα καὶ ἔνθα θεαῖς.

ᾤχεο δὴ καὶ ἄνευθε φίλων καὶ ἄνευθεν ἀοιδῆς,
  δρεψόμενος μαλακῆς ἄνθεα Περσεφόνης.
ᾤχεο· κοὐκ ἔτ᾽ ἔσει, κοὐκ αὖ ποτέ σοι παρεδοῦμαι
  ἁζόμενος, χειρῶν χερσὶ θιγὼν ὁσίαις·
νῦν δ᾽ αὖ μνησάμενον γλυκύπικρος ὑπήλυθεν αἰδὼς,
  οἷα τυχὼν οἵου πρὸς σέθεν οἷος ἔχω·
οὔποτε σοῖς, γέρον, ὄμμα φίλοις φίλον ὄμμασι τέρψω,
  σῆς, γέρον, ἁψάμενος, φίλτατε, δεξιτερᾶς·
ἦ ψαφαρὰ κόνις, ἢ ψαφαρὸς βιός ἐστι· τὶ τούτων
  μεῖον ἐφημερίων; οὐ κόνις ἀλλὰ βίος.
ἀλλά μοι ἡδύτερός γε πέλεις πολὺ τῶν ἔτ᾽ ἐόντων,
  ἔπλεο γάρ· σοὶ μὴν ταῦτα θανόντι φέρω,
παῦρα μὲν, ἀλλ᾽ ἀπὸ κῆρος ἐτήτυμα· μηδ᾽ ἀποτρεφθῇς,
  πρὸς δὲ βαλὼν ἔτι νῦν ἥσυχον ὄμμα δέχου.
οὐ γὰρ ἔχω, μέγα δή τι θέλων, σέθεν ἄξια δοῦναι
  θαπτομένου περ ἀπών· οὐ γὰρ ἔνεστιν ἔμοι·
οὐδὲ μελικρήτου παρέχειν γάνος· εἰ γὰρ ἐνείη
  καί σε χεροῖν ψαύσαι καί σέ ποτ᾽ αὖθις ἰδεῖν,
δάκρυσί τε σπονδαῖς τε κάρα φίλον ἀμφιπολεύειν
  ὀφθαλμούς θ᾽ ἱεροὺς σοὺς ἱερόν τε δέμας.
εἴθ᾽ ὄφελον· μάλα γὰρ τάδ᾽ ἂν ἀμπαύσειε μερίμνης·
  νῦν δὲ πρόσωθεν ἄνευ σήματος οἶκτον ἄγω·
οὐδ᾽ ἐπιτυμβίδιον θρηνῶ μέλος, ἀλλ᾽ ἀπαμυνθεὶς,
  ἀλλ᾽ ἀπάνευθεν ἔχων ἀμφιδακρυτὰ πάθη.
ἀλλὰ σὺ χαῖρε θανὼν, καὶ ἔχων γέρας ἴσθι πρὸς ἀνδρῶν
  πρός τε θεῶν, ἐνέροις εἴ τις ἔπεστι θεός.
χαῖρε γέρον, φίλε χαῖρε πατὲρ, πολὺ φέρτατ᾽ ἀοιδῶν
  ὧν ἴδομεν, πολὺ δὴ φέρτατ᾽ ἀεισομένων·
χαῖρε, καὶ ὄλβον ἔχοις, οἷόν γε θανόντες ἔχουσιν,
  ἡσυχίαν ἔχθρας καὶ φιλότητος ἄτερ.
σήματος οἰχομένου σοι μνήματ᾽ ἐς ὕστερον ἔσται,
  σοί τε φιλὴ μνήμη μνήματος οἰχομένου·

ὅν Χάριτες κλαίουσι θεαὶ, κλαίει δ' Ἀφροδίτη
   καλλιχόροις Μουσῶν τερψαμένη στεφάνοις·
οὐ γὰρ ἅπαξ ἱεροὺς ποτε γῆρας ἔτριψεν ἀοιδούς·
   τήνδε τὸ σὸν φαίνει μνῆμα τόδ' ἀγλαΐαν.
ἦ φίλος ἦς μακάρεσσι βροτὸς, σοὶ δ' εἴ τινι Νύμφαι
   δῶρα ποθεινὰ νέμειν, ὕστατα δῶρ', ἔδοσαν.
τὰς νῦν χάλκεος ὕπνος ἔβη καὶ ἀνήνεμος αἰὼν,
   καὶ συνθαπτομέναι μοῖραν ἔχουσι μίαν.
εὕδεις καὶ σὺ, καλὸν καὶ ἀγάκλυτον ἐν χθονὶ κοίλῃ
   ὕπνον ἐφικόμενος, σῆς ἀπόνοσφι πάτρας,
τῆλε παρὰ ξανθοῦ Τυρσηνικὸν οἶδμα καθεύδεις
   νάματος, ἡ δ' ἔτι σὴ μαῖά σε γαῖα ποθεῖ,
ἀλλ' ἀπέχεις, καὶ πρόσθε φιλόπτολις ὤν περ ἀπεῖπας·
   εὕδε· μάκαρ δ' ἡμῖν οὐδ' ἀμέγαρτος ἔσει.
βαιὸς ἐπιχθονίων γε χρόνος καὶ μοῖρα κρατήσει,
   τοὺς δέ ποτ' εὐφροσύνη τοὺς δέ ποτ' ἄλγος ἔχει·
πολλάκι δ' ἢ βλάπτει φάος ἢ σκότος ἀμφικαλύπτει
   μυρομένους, δάκνει δ' ὕπνος ἐγρηγορότας·
οὐδ' ἔθ' ὅτ' ἐν τύμβοισι κατέδραθεν ὄμμα θανόντων
   ἢ σκότος ἢ τι φάος δήξεται ἠελίου·
οὐδ' ὄναρ ἐννύχιον καὶ ἐνύπνιον οὐδ' ὕπαρ ἔσται
   ἢ ποτε τερπομένοις ἢ ποτ' ὀδυρομένοις·
ἀλλ' ἕνα πάντες ἀεὶ θᾶκον συνέχουσι καὶ ἕδραν
   ἀντὶ βροτῆς ἄβροτον, κάλλιμον ἄντι κακῆς.